15 1Μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα κυρίου πρὸς Αβραμ
ἐν ὁράματι λέγων Μὴ φοβοῦ, Αβραμ· ἐγὼ ὑπερασπίζω σου· ὁ
2 μισθός σου πολὺς ἔσται σφόδρα. 2λέγει δὲ Αβραμ Δέσποτα, τί
μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος· ὁ δὲ υἱὸς Μασεκ τῆς
3 οἰκογενοῦς μου, οὗτος Δαμασκὸς Ελιεζερ. 3καὶ εἶπεν Αβραμ
Ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα, ὁ δὲ οἰκογενής μου κληρονομήσει
4 με. 4καὶ εὐθὺς φωνὴ κυρίου ἐγένετο πρὸς αὐτὸν λέγων Οὐ
κληρονομήσει σε οὗτος, ἀλλ᾽ ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρο-
5 νομήσει σε. 5ἐξήγαγεν δὲ αὐτὸν ἔξω καὶ εἶπεν αὐτῷ Ἀνάβλεψον
δὴ εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθ-
6 μῆσαι αὐτούς. καὶ εἶπεν Οὕτως ἔσται τὸ σπέρμα σου. 6καὶ
ἐπίστευσεν Αβραμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.
7 7εἶπεν δὲ πρὸς αὐτόν Ἐγὼ ὁ θεὸς ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλ-
8 δαίων ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι. 8εἶπεν
δέ Δέσποτα κύριε, κατὰ τί γνώσομαι ὅτι κληρονομήσω αὐτήν;
9 9εἶπεν δὲ αὐτῷ Λαβέ μοι δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζου-
10 σαν καὶ κριὸν τριετίζοντα καὶ τρυγόνα καὶ περιστεράν. 10ἔλαβεν
δὲ αὐτῷ πάντα ταῦτα καὶ διεῖλεν αὐτὰ μέσα καὶ ἔθηκεν αὐτὰ ἀντι-
11 πρόσωπα ἀλλήλοις, τὰ δὲ ὄρνεα οὐ διεῖλεν. 11κατέβη δὲ ὄρνεα
ἐπὶ τὰ σώματα, τὰ διχοτομήματα αὐτῶν, καὶ συνεκάθισεν αὐτοῖς
12 Αβραμ. 12περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν τῷ Αβραμ, καὶ
13 ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ. 13καὶ ἐρρέθη πρὸς
Αβραμ Γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν
γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσιν αὐτοὺς καὶ
14 ταπεινώσουσιν αὐτοὺς τετρακόσια ἔτη. 14τὸ δὲ ἔθνος, ᾧ ἐὰν δου-
λεύσωσιν, κρινῶ ἐγώ· μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀπο-
15 σκευῆς πολλῆς. 15σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ᾽
16 εἰρήνης, ταφεὶς ἐν γήρει καλῷ. 16τετάρτη δὲ γενεὰ ἀποστραφή-
σονται ὧδε· οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Αμορραίων
17 ἕως τοῦ νῦν. 17ἐπεὶ δὲ ἐγίνετο ὁ ἥλιος πρὸς δυσμαῖς, φλὸξ ἐγέ-
νετο, καὶ ἰδοὺ κλίβανος καπνιζόμενος καὶ λαμπάδες πυρός, αἳ διῆλθον
18 ἀνὰ μέσον τῶν διχοτομημάτων τούτων. 18ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διέ-
θετο κύριος τῷ Αβραμ διαθήκην λέγων Τῷ σπέρματί σου δώσω
τὴν γῆν ταύτην ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ τοῦ
19 μεγάλου, ποταμοῦ Εὐφράτου, 19τοὺς Καιναίους καὶ τοὺς Κενεζαί-
20 ους καὶ τοὺς Κεδμωναίους 20καὶ τοὺς Χετταίους καὶ τοὺς Φερε-
21 ζαίους καὶ τοὺς Ραφαϊν 21καὶ τοὺς Αμορραίους καὶ τοὺς Χαναναί-
ους καὶ τοὺς Ευαίους καὶ τοὺς Γεργεσαίους καὶ τοὺς Ιεβουσαίους.
16 1Σαρα δὲ ἡ γυνὴ Αβραμ οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη
2 Αἰγυπτία, ᾗ ὄνομα Αγαρ. 2εἶπεν δὲ Σαρα πρὸς Αβραμ Ἰδοὺ συνέ-

15 7 προς αυτον] αυτω A† || 13 δουλ. αυτους και κακ. αυτους] κακ. αυτο και δουλ. αυτους A† || 15 ταφεις Gra.] τραφεις A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/72 UNIVERSITÄT LEIPZIG